# AESOPI FABVLAE (XIII)

## 135-ΚΥΩΝ ΚΑΙ ΑΛΩΠΗΞ

κύων θηρευτικὸς λέοντα ἰδὼν τοῦτον ἐδίωκεν· ὡς δὲ ἐπιστραφεὶς ἐκεῖνος ἐβρυχήσατο, φοβηθεὶς[1] εἰς τοὐπίσω ἔφυγεν. ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἔφη· «ὦ κακὴ κεφαλή, σὺ λέοντα ἐδίωκες, οὗ[2] οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας;

ὁ λόγος λεχθείη ἂν[3] ἐπ' ἀνδρῶν αὐθάδων, οἳ [κατὰ πολὺ] δυνατωτέρων[4] συκοφαντεῖν ἐπιχειροῦντες, ὅταν[5] ἐκεῖνοι ἀντιστῶσιν, εὐθέως ἀναχαιτίζουσιν.

---

1 **φοβηθεὶς.** Participio aoristo pasivo. Obviamente se refiere al perro.
2 **οὗ** = lat. *cuius*
3 **λεχθείη ἂν.** Optativo aoristo pasivo con partícula modal. Tradúzcase como si dijera λέγεται
4 **δυνατωτέρων.** Régimen del infinitivo siguiente
5 **ὅταν.** Adverbio de tiempo, marca de subordinación, formado por ὅτε+ἄν. Lleva subjuntivo